τοῦτ᾽ ἔcτι τὸ κυβερνῶν ⟨ἅπαντα⟩ καὶ cτρέφον
καὶ cῶιζον, ἡ πρόνοια δ᾽ ἡ θνητὴ καπνὸc
καὶ φλήναφοc. πείcθητε, κοὐ μέμψεcθέ με.
πάνθ᾽ ὅcα νοοῦμεν ἢ λέγομεν ἢ πράττομεν,
τύχη ᾽cτιν, ἡμεῖc δ᾽ ἐcμὲν ἐπιγεγραμμένοι.

## ΨΕΥΔΗΡΑΚΛΗϹ

### 451 (518 K)

Athenaevs 172 a. τοὺc δὲ τὰ πέμματα προcέτι τε τοὺc ποιοῦνταc τοὺc πλακοῦνταc οἱ πρότερον δημιουργοὺc ἐκάλουν. Μένανδροc Ψευδηρακλεῖ. καταμεμφόμενοc δὲ τοὺc μαγείρουc ὡc ἐπιχειροῦνταc καὶ οἷc μὴ δεῖ φηcιν·

⟨A.⟩ μάγειρ᾽, ἀηδήc μοι δοκεῖc εἶναι cφόδρα.
πόcαc τραπέζαc μέλλομεν ποεῖν τρίτον
ἤδη μ᾽ ἐρωτᾶιc. χοιρίδιον ἓν θύομεν,
ὀκτὼ ποήcοντεc τραπέζαc, δύο, μίαν,
τί cοὶ διαφέρει τοῦτο; παράθεc †cημιαν.
⟨B.⟩ οὐκ ἔcτι κανδύλουc ποεῖν οὐδ᾽ οἷα cὺ
εἴωθαc, εἰc ταὐτὸν καρυκεύειν μέλι,
cεμίδαλιν, ὠιά. πάντα γὰρ τἀναντία
νῦν ἐcτιν· ὁ μάγειροc γὰρ ἐγχύτουc ποεῖ,
πλακοῦνταc ὀπτᾶι, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχοc, εἶτα θρῖον καὶ βότρυc·
ἡ δημιουργὸc δ᾽ ἀντιπαρατεταγμένη
κρεάιδι᾽ ὀπτᾶι καὶ κίχλαc, τραγήματα.
ἔπειθ᾽ ὁ δειπνῶν μὲν τραγηματίζεται,
μυριcάμενοc δὲ καὶ cτεφανωcάμενοc πάλιν
⟨cύμμεικτα⟩ δειπνεῖ τὰ μελίπηκτα ταῖc κίχλαιc.